www.tezaurliturgic.ro

ΠΡΩΤΟΠΡΕΣΒΥΤΕΡΟΥ
ΚΩΝΣΤΑΝΤΙΝΟΥ Γ. ΓΚΕΛΗ
ΘΕΟΛΟΓΟΥ

# Ο
# ΑΓΙΟΣ ΠΑΝΑΓΗΣ ΜΠΑΣΙΑΣ
## (ΠΑΠΑ - ΜΠΑΣΙΑΣ)

**ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ**
ὑπὸ
† Ἀρχ. Πολυκάρπου Κόμη
ὑμνογράφου

*

ΠΡΟΛΟΓΟΣ
Σεβασμιωτάτου Μητροπολίτου Κεφαλληνίας
κ. κ. ΠΡΟΚΟΠΙΟΥ

ΕΚΔΟΣΙΣ Β΄

ΑΘΗΝΑΙ 1987

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## Τοῦ Ὁσίου πατρὸς ἡμῶν

## ΠΑΝΑΓΗ (τοῦ ΜΠΑΣΙΑ)

### Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ

Στιχολογοῦμεν τὴν α΄ στάσιν τοῦ «Μακάριος ἀνήρ»,

Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους στ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος α΄ «Τῶν Οὐρανίων ταγμάτων»

Κεφαλληνία ἡ νῆσος τέρπου καὶ χόρευε, τρεῖς γὰρ ἐκ σοῦ φωστῆρες, ἐξανέτειλαν κόσμῳ, Γεράσιμος ὁ μέγας θαυματουργὸς. καὶ ὁ Ὅσιος Ἄνθιμος, καὶ ἐν καιροῖς τοῖς ἐσχάτοις ὁ ἱερεὺς Παναγῆς ὁ πολυθαύμαστος

Τῶν ἀρετῶν σου τὰ κάλλη τὶς διηγήσεται, καὶ τὴν στερρὰν παμμάκαρ καὶ ἀκράδαντον πίστιν, δι᾽ ὧν σε ὁ Δεσπότης ὦ ἱερὲ Παναγῆ ἀντεδόξασε, χάριν παρέχων σοι θείαν τοῦ προορᾶν καὶ προλέγειν τὰ ἐσόμενα.

Καιρῷ βροχῆς καὶ θυέλλης ἐπὶ τὰ μνήματα, τῶν τεθνεώτων πάτερ ἐκ τῆς νόσου χολέρας, εὐχὰς προσαναπέμψαι ὑπὲρ αὐτῶν Παναγῆ πορευόμενος, οὐδό-

 www.tezaurliturgic.ro

λως μάκαρ ὑγράνθης τῷ ὑετῷ, τῇ χειρὶ Θεοῦ σκεπόμενος

Ἕτερα Στιχηρά. Ἦχος δ' «Ὡς γενναῖον ἐν μάρτυσι»

Κατὰ χρέος συνέλθωμεν, Κεφαλλήνων φιλέορτοι, ἱερὰν πανήγυριν ἑορτάζοντες, ἰδοὺ ἡμᾶς συνεκάλεσε πρὸς αἶνον οὐράνιον καὶ χαρὰν πνευματικὴν ὁ πρεσβύτης ὁ ἔνθεος καὶ σεβάσμιος, Παναγῆς ὁ ὁσίως βιοτεύσας, τοῖς ἐσχάτοις τούτοις χρόνοις, Ὃν ἐπαξίως τιμήσωμεν.

Ἱερέων τὸ σέμνωμα, ὀρθοδόξων ἀγλάϊσμα, τῶν πιστῶν κραταίωμα καὶ ἐντρύφημα, τὸν λειτουργὸν τὸν πανάριστον καὶ φίλον τὸν γνήσιον τοῦ Δεσπότου καὶ Θεοῦ, Παναγῆν τὸν μακάριον εὐφημήσωμεν, τὸν πρεσβεύοντα πάντοτε Κυρίῳ, ὑπὲρ πάντων τῶν τιμώντων, τὴν ἱερὰν αὐτοῦ κοίμησιν.

Ὡς φωστὴρ διαυγέστατος, Παναγῆ ἱερώτατε ἐν καιρῷ δουλώσεως ἐξανέτειλας, καὶ τοὺς πιστοὺς κατεφώτισας ἐν θείοις σου πράξεσι καὶ τοῖς λόγοις τοῖς ἁπλοῖς καὶ ταῖς θείαις προσρήσεσι, φωτιζόμενος ταῖς ἀκτῖσι τῆς χάριτος τῆς θείας τῆς ἐν σοὶ ἐνσκηνωσάσης, διαπαντὸς πανσεβάσμιε.

Δόξα Πατρί. Ἦχος πλ. δ'.

Τῶν Ἱερέων ὁ σύλλογος καὶ φιλοσίων τὰ πλήθη, γηθοσύνως δεῦτε συνέλθωμεν· καὶ ἐν ψαλμοῖς ἱεροῖς καὶ ᾄσμασι μελιρρύτοις τὴν χαρμόσυνον καὶ σεβάσμιον μνήμην τοῦ ὑψιπέτου λευίτου καὶ ἰσαγγέλου λειτουργοῦ τοῦ ὑψίστου, Παναγῆ τοῦ τρισμάκαρος ἀξίως τιμήσωμεν. Οὗτος γὰρ ὁ τρισόλβιος ἀγγελικῶς δια-

www.tezaurliturgic.ro



νύσας τὸν βίον, εὐεργετῶν, διδάσκων καὶ ἀγαθοποιῶν, τῷ Χριστῷ εὐηρέστησε καὶ τὸν ἐχθρὸν κατεπάτησε. Ὅθεν οὐρανίων καὶ θείων ἀξιωθεὶς χαρισμάτων καὶ αὐτουργὸς θαυμάτων γενόμενος, πρὸς Ὃν ἐπόθησε Χριστὸν περιχαρῶς μεταβέβηκεν. Καὶ νῦν πρεσβεύει Αὐτῷ ὑπὲρ εἰρήνης τοῦ κόσμου καὶ πάντων τῶν τελούντων πιστῶς τὴν ἱερὰν καὶ πανέορτον τούτου πανήγυριν.

Καὶ νῦν καὶ ἀεί...

Ἦχος πλ. δ'

Ο Βασιλεὺς τῶν Οὐρανῶν, διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ ἁγνῆς σάρκα προσλαβόμενος καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως. Εἷς ἐστὶν Υἱὸς διπλοῦς τὴν φύσιν, ἀλλ' οὐ τὴν ὑπόστασιν. Διὸ τέλειον αὐτὸν Θεὸν καὶ τέλειον ἄνθρωπον ἀληθῶς κηρύττοντες ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν, Ὃν ἱκέτευε Μῆτερ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, «Φῶς ἱλαρόν...», Τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Μαλαχίου τὸ ἀνάγνωσμα.

Καὶ νῦν ἡ ἐντολὴ αὕτη πρὸς ὑμᾶς οἱ ἱερεῖς· ἐὰν μὴ ἀκούσητε, καὶ ἐὰν μὴ θῆσθε εἰς τὴν καρδίαν ὑμῶν τοῦ δοῦναι δόξαν τῷ ὀνόματί μου, λέγει Κύριος παντοκράτωρ, καὶ ἐξαποστελῶ ἐφ' ὑμᾶς τὴν κατάραν καὶ ἐπικαταράσομαι τὴν εὐλογίαν ὑμῶν καὶ καταράσομαι αὐτήν· καὶ διασκεδάσω τὴν εὐλογίαν ὑμῶν, καὶ οὐκ ἔσται ἐν ὑμῖν, ὅτι ὑμεῖς οὐ τίθεσθε εἰς τὴν καρδίαν ὑμῶν. Ἰδοὺ ἐγὼ ἀφορίζω ὑμῖν τὸν ὦμον καὶ σκορπιῶ

www.tezaurliturgic.ro

ἔνυστρον ἐπὶ τὰ πρόσωπα ὑμῶν, ἔνυστρον ἑορτῶν ὑμῶν, καὶ λήψομαι ὑμᾶς εἰς τὸ αὐτό, καὶ ἐπιγνώσεσθε διότι ἐγὼ ἐξαπέσταλκα πρὸς ὑμᾶς τὴν ἐντολὴν ταύτην τοῦ εἶναι τὴν διαθήκην μου πρὸς τοὺς Λευΐτας, λέγει Κύριος παντοκράτωρ. Ἡ διαθήκη μου ἦν μετ' αὐτοῦ τῆς ζωῆς καὶ τῆς εἰρήνης καὶ ἔδωκα αὐτῷ ἐν φόβῳ φοβεῖσθαι με καὶ ἀπὸ προσώπου ὀνόματός μου στέλλεσθαι αὐτόν. Νόμος ἀληθείας ἦν ἐν τῷ στόματι αὐτοῦ, καὶ ἀδικία οὐχ εὑρέθη ἐν χείλεσι αὐτοῦ, ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη μετ' ἐμοῦ καὶ πολλοὺς ἐπέστρεψεν ἀπὸ ἀδικίας.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξύνει δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως, ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυ-

www.tezaurliturgic.ro


ναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Βασιλειῶν Δ′ τὸ ἀνάγνωσμα.

Καὶ Ἐλισαιὲ ἠρρώστησε τὴν ἀρρωστίαν αὐτοῦ, δι᾽ ἣν ἀπέθανε. Καὶ κατέβη πρὸς αὐτὸν Ἰωὰς βασιλεὺς Ἰσραὴλ καὶ ἔκλαυσεν ἐπὶ πρόσωπον αὐτοῦ καὶ εἶπε· πάτερ, πάτερ ἅρμα Ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ. Καὶ εἶπεν αὐτῷ Ἐλισαιέ· λάβε τόξον καὶ βέλη. Καὶ ἔλαβε πρὸς ἑαυτὸν τόξον καὶ βέλη. Καὶ εἶπε τῷ βασιλεῖ· ἐπιβίβασον τὴν χεῖρα σου ἐπὶ τὸ τόξον· καὶ ἐπεβίβασεν Ἰωὰς τὴν χεῖρα αὐτοῦ καὶ ἐπέθηκε Ἐλισαιὲ τὰς χεῖρας αὐτοῦ ἐπὶ τὰς χεῖρας τοῦ βασιλέως. Καὶ εἶπεν· ἄνοιξον τὴν θυρίδα κατὰ ἀνατολάς· καὶ ἤνοιξε. Καὶ εἶπεν Ἐλισαιέ· τόξευσον· καὶ ἐτόξευσε. Καὶ εἶπε· βέλος σωτηρίας τῷ Κυρίῳ καὶ βέλος σωτηρίας ἐν Συρίᾳ, καὶ πατάξεις τὴν Συρίαν ἐν Ἀφὲκ ἕως συντελείας. Καὶ εἶπεν αὐτῷ Ἐλισαιέ· λάβε τόξα· καὶ ἔλαβε. Καὶ εἶπε τῷ βασιλεῖ Ἰσραήλ· πάταξον εἰς τὴν γῆν· καὶ ἐπάταξεν ὁ βασιλεὺς τρὶς καὶ ἔστη. Καὶ ἐλυπήθη ἐπ᾽ αὐτῷ ὁ ἄνθρωπος τοῦ Θεοῦ καὶ εἶπεν· εἰ ἐπάταξας πεντάκις ἢ ἑξάκις, τότε ἂν ἐπάταξας τὴν Συρίαν ἕως συντελείας· καὶ νῦν τρὶς πατάξεις τὴν Συρίαν. Καὶ ἀπέθανεν Ἐλισαιέ, καὶ ἔθαψαν αὐτόν. Καὶ μονόζωνοι Μωὰβ ἦλθον ἐν τῇ γῇ ἐλθόντος τοῦ ἐνιαυτοῦ· καὶ ἐγένετο αὐτῶν θαπτόντων τὸν ἄνδρα, καὶ ἰδοὺ εἶδον τὸν μονόζωνον καὶ ἔρριψαν τὸν ἄνδρα ἐν τῷ τάφῳ Ἐλισαιέ, καὶ ἐπορεύθη καὶ ἥψατο τῶν ὀστέων Ἐλισαιὲ καὶ ἔζησε καὶ ἀνέστη ἐπὶ τοὺς πόδας αὐτοῦ.

www.tezaurliturgic.ro

## Εἰς τὴν Λιτὴν

### Ψάλλομεν Στιχηρὰ Ἰδιόμελα.

### Ἦχος α'

Ἀγάλλου ἐν Κυρίῳ, νῆσος Κεφαλληνία, ἐν κόλποις κατέχουσα, ὡς ἀσύλητον θησαυρόν, τὰ μυρίπνοα καὶ θαυματόβρυτα λείψανα, Παναγῆ τοῦ πατρὸς ἡμῶν τοῦ ἐναρέτου Λευίτου καὶ οὐρανίου ἐργάτου, τῶν θείων τοῦ Χριστοῦ ἐντολῶν, τοῦ καὶ προορατικοῦ ἀξιωθέντος χαρίσματος, τοῦ πρεσβεύοντος ἀεὶ τῷ Κυρίῳ ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων τὸ ἱερὸν Τούτου μνημόσυνον.

### Ἦχος β'

Εἰς τὰ ἀγαπητὰ τοῦ Κυρίου σκηνώματα, εἰς τὰς αὐλὰς τὰς ἐπουρανίους, ἔνθα ἦχος καθαρὸς ἑορταζόντων καὶ ἡ ἀνέκφραστος ἡδονή, τὸ πνεῦμα σου μακαρίως εὐφραίνεται, Παναγῆ θεοδόξαστε, ὅθεν τοῦ ἀνεσπέρου ἐμφορούμενος φωτὸς φώτισον καὶ ἡμῶν τὰς καρδίας, τῶν ἐν πίστει καὶ πόθῳ τελούντων τὴν ἀεισέβαστον μνήμην σου.

### Ἦχος γ'

Τὸ νεοκόσμητον κλέος τῶν Ἱερέων καὶ τῆς εὐσεβείας φωστῆρα νεοφανῆ, ἐν ὕμνοις τιμήσωμεν, Παναγῆν τὸν ἀοίδιμον. Οὗτος γὰρ ὁ θεόσοφος τῇ δοθείσῃ αὐτῷ ὑπερφυεῖ θείᾳ χάριτι, τοὺς μὲν νουθετῶν, καὶ στηρίζων, τοὺς δὲ ἐπιτιμῶν καὶ ἐλέγχων πρὸς τὰς ὁδοὺς τοῦ Χριστοῦ ἐπανήγαγε. Καὶ νῦν τὸν ἀμαράντινον δεξάμενος στέφανον, καθικετεύει ἀπαύστως σωθῆναι τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro



Ἦχος δʹ

Ἀγαπήσας τὸν Θεὸν ἐν ὅλῃ ψυχῇ τε καὶ καρδίᾳ καὶ τὸν πλησίον ὡς σεαυτόν, τὰ πάντα ἐπώλησας καὶ ἐν χερσὶ χηρῶν καὶ πενήτων ἐναπεθησαύρισας. Ὅθεν τηρητὴς ἀκριβὴς γενόμενος τῶν πρώτων καὶ μεγίστων ἐντολῶν τοῦ Σωτῆρος Χριστοῦ, κατηξίωσαι συμβασιλεύειν αὐτῷ εἰς παστάδα οὐράνιον, αὐτῆς ἀξίωσον καὶ ἡμᾶς, ἱκεσίαις σου τίμιε πάτερ, τοὺς ἐτησίως ἑορτάζοντας τὴν σεβάσμιον μνήμην σου.

Δόξα Πατρί. Ἦχος πλ. αʹ

Ἄσμασι ἐγκωμίων, δεῦτε ἅπαντες τῶν Κεφαλλήνων φιλέορτοι, τὴν μνήμην τιμήσωμεν τοῦ νεοφανοῦς Ὁσίου Παναγῆ τοῦ τρισμάκαρος. Οὗτος γὰρ ἐκ νεαρᾶς ἡλικίας ἀκολουθήσας τῷ Χριστῷ καὶ τὴν στολὴν τῆς Ἱερωσύνης ἀξίως περιβεβλημένος, ὁσίως καὶ ἀμέμπτως Αὐτῷ ἐλειτούργησε. Ὅθεν ὑπερκοσμίων ἀξιωθεὶς χαρισμάτων τὰ μέλλοντα προὔλεγεν. Καὶ νῦν παρρησίᾳ τῷ Χριστῷ, ἀδιαλείπτως πρεσβεύει, ὅπως ἵλεως γένηται ἡμῖν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Καὶ νῦν. Μακαρίζομέν σε...

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. αʹ Χαίροις ἀσκητικῶν

Χαίροις Κεφαλληνίας λαμπρός, φωστὴρ παμμάκαρ ἐσαεὶ τηλαυγέστατος, ἐκ ταύτης ἐξανατείλας ἐν τοῖς ἐσχάτοις καιροῖς, καὶ πιστῶν φωτίζων τὰ πληρώματα, θαυμάτων πυρσεύμασι, καὶ τῶν λόγων ἁπλότητι καὶ τῇ μεγίστῃ ἐκ Θεοῦ θείᾳ χάριτι, τῇ δοθείσῃ σοι προορᾶν τὰ ἐσόμενα. Ἄνθρωπε ὑπερκόσμιε, πρεσβῦτα

www.tezaurliturgic.ro

ἰσάγγελε, μὴ διαλείπῃς πρεσβεύων ὑπὲρ τῶν δούλων σου πάντοτε, τυχεῖν σωτηρίας καὶ τῆς ἄνω βασιλείας μακαριώτατε.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

Χαίροις τῶν μυστηρίων Θεοῦ, ἱερουργὸς πανευλαβὴς καὶ πανάριστος, ὁ τούτῳ ἱερουργήσας θεοπρεπῶς καὶ σεμνῶς, Ἀαρὼν καθάπερ παμμακάριστε, παννύχοις ἐν στάσεσι καὶ ἀγρύπνοις δεήσεσι, μυσταγωγίαις τὴν ψυχὴν καθηράμενος, κατηξίωσαι θεϊκῶν ἐπιλάμψεων. Ὅθεν τὴν σεβασμίαν σου, τελοῦντες πανήγυριν καὶ εὐλαβῶς προσκυνοῦντες τὴν τῶν λειψάνων σου λάρνακα, θερμῶς ἐξαιτοῦμεν, παρασχεῖν τοῖς σὲ τιμῶσι τὸ μέγα ἔλεος.

Στιχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Χαίροις τοῦ Ληξουρίου βλαστός, Κεφαλληνίας τὸ τερπνὸν ἐγκαλλώπισμα, τὸ κλέος τῶν Ἱερέων, τῶν ὀρφανῶν καὶ χηρῶν τροφοδότης πάτερ ἀνεξάντλητος· ἀγάπης διάκονος εὐσεβείας διδάσκαλος, θείων χαρίτων ποταμός, ὁ πολύρρυτος καὶ τοῦ Πνεύματος χρυσαυγὲς ἐνδιαίτημα. Πάτερ φωτοειδέστατε, ἀγγέλων συμμέτοχε, μὴ διαλείπῃς πρεσβεύων ὑπὲρ τῆς ποίμνης σου πάντοτε ρυσθῆναι κινδύνων πάσης θλίψεως καὶ νόσων καὶ περιστάσεων.

Δόξα Πατρί. Ἦχος πλ. β'.

Δεῦτε ἅπαντα τὰ πλήθη τῶν πιστῶν Κεφαλλήνων, ὕμνους θεοτερπεῖς καὶ ᾠδὰς εὐχαριστηρίους τῇ τρισηλίῳ θεότητι ἀναμέλψωμεν, ὅτι τῇ θείᾳ καὶ ἀνεξιχνιάστῳ αὐτῆς προνοίᾳ ἐπιδαψιλεύσατο τὴν χάριν

www.tezaurliturgic.ro



αὐτῆς εἰς ἡμᾶς, καὶ τρεῖς Ὁσίους φωστῆρας ἡμῖν ἐχαρίσατο Γεράσιμον τὸν ἐν Ὁσίοις διαλάμποντα, τὸν ἐν θαύμασι περιβόητον καὶ διώκτην φοβερὸν τῶν ἀκαθάρτων πνευμάτων. Ἄνθιμον ἀσκητῶν τὸν ἐφάμιλλον, τὸν ἐκ παιδὸς στερηθέντα τοῦ φωτὸς τοῦ αἰσθητοῦ καὶ Μονὰς ἐξαρίθμους ἐγείραντα. Καὶ Παναγῆν τὸν πανόλβιον, ἐν ὑστέροις χρόνοις ἐν ἀρεταῖς διαπρέψαντα καὶ προφητικοῦ ἀξιωθέντα χαρίσματος. Ταῖς αὐτῶν ἱκεσίαις καὶ πάντων τῶν ἁγίων, τὴν Ὀρθόδοξον πίστιν κραταίωσον, χριστιανῶν τὸ κέρας ὕψωσον καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτόκε σὺ ἡ ἄμπελος

Νῦν ἀπολύεις Τρισάγιον.

Ἀπολυτίκιον

Ἦχος α΄ Τῆς ἐρήμου πολίτης...

Ληξουρίου τὸν γόνον, Ἱερέων τὸ καύχημα, τῆς Κεφαλληνίας φωστῆρα νεοφανῶς ἀνατείλαντα, τιμήσωμεν ἐν ὕμνοις Π Α Ν Α Γ Η Ν, τὸν μύστην τῆς Τριάδος τῆς σεπτῆς, ἐμφανῶς κεκοσμημένον προφητικῷ τοῦ Πνεύματος χαρίσματι. Διὸ τὸν δοξάσαντα αὐτὸν λαμπρῶς ἀντιδοξάσωμεν, ἵνα εὕρωμεν χάριν καὶ πταισμάτων τὴν συγχώρησιν.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν. Τοῦ Γαβριὴλ φθεγξαμένου.

***

www.tezaurliturgic.ro


# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸ Ἑξάψαλμον. Θεὸς Κύριος.
τὰ ὡς ἄνω Ἀπολυτίκια.

Κάθισμα α' Ἦχος δ' «Ταχὺ προκατάλαβε»

Ημέρα χαρμόσυνος, τῇ Ἐκκλησίᾳ Χριστοῦ, ἡ μνήμη ἐπέλαμψε τοῦ ἱεροῦ Παναγῆ, φαιδρύνουσα ἅπαντας, αἴγλη τῆς ἐναρέτου ἑαυτοῦ πολιτείας, χάριτι ἰαμάτων καὶ προρρήσεων θείων, διὸ αὐτὸν εὐσεβῶς πιστοὶ μακαρίσωμεν.

Δόξα Πατρί. Ἦχος α' «Τὸν Τάφον σου Σωτήρ»

Ραγδαίῳ ὑετῷ, πορευθέντος σου πάτερ, Μονῇ τῶν Ὁμαλῶν τοῦ σεπτοῦ Γερασίμου, σεπτὲ Παναγῆ ποσῶς σου ψεκάδες καθήψαντο, ὡς δὲ εἶδε σε ἡ μοναχὴ Μακαρία, ἀνεβόησε ὡς θαυμαστὸς ἐν ἁγίοις, ὑπάρχει ὁ Κύριος.

Καὶ νῦν.

Τῶν πάντων ποιητὴν καὶ Θεόν σου καὶ πλάστην, ὃν ἔτεκες σεμνὴ Παναγία Παρθένε, ἱκέτευε πάντοτε σὺν ὁσίοις δωρήσασθαι, ἀπολύτρωσιν ἐκ τῶν τοῦ βίου σκανδάλων, τοῖς προστρέχουσι ὑπὸ τὴν θείαν σου σκέπην καὶ σὲ μακαρίζουσι.

Μετὰ τὴν β' Στιχολογίαν Κάθισμα

Ἦχος πλ. δ' «Τὸ προσταχθὲν»

Τὸν τοῦ Σωτῆρος ἐραστὴν καὶ θεῖον μύστην, καὶ Ληξουρίου ἐγκαλλώπισμα καὶ κλέος, Παναγῆν τὸν ἱερώτατον εὐφημοῦντες, τιμήσωμεν κατὰ χρέος πάν-

www.tezaurliturgic.ro



τες πιστοί, τελοῦντες τὴν μνήμην τούτου περιχαρῶς, ἵνα λάβωμεν ἄφεσιν πλημμελημάτων πολλῶν, ταῖς τούτου παρακλήσεσι, πρὸς τὸν μόνον φιλάνθρωπον.

Δόξα Πατρί. Ἦχος δ'. «Ἐπεφάνης σήμερον»

Ἱερεὺς γενόμενος τοῦ Θείου Λόγου, ἱερῶς διήνυσας τὴν σὴν παμμάκαρ βιοτήν, ὦ Παναγῆ ἱερώτατε, νῦν δὲ ἱεροῖς σὲ τιμῶμεν ᾄσμασι.

Καὶ νῦν. ὅμοιον

Ἱκεσίαις Κύριε ταῖς τῆς Μητρός Σου, καὶ τοῦ Σοῦ θεράποντος καὶ Ἱερέως Παναγῆ, πάντας ἡμᾶς καταξίωσον, τῆς οὐρανίου Χριστὲ Βασιλείας Σου.

Μετὰ τὸν Πολυέλεον.

Κάθισμα Ἦχος πλ. α' «Τὸν συνάναρχον Λόγον...»

Ληξουρίου ἡ πόλις φαιδρῶς ἀγάλλεται, κεκτημένη ἐν κόλποις πολυτελῆ θησαυρόν, Παναγῆ τοῦ ἱεροῦ τὰ θεῖα λείψανα, ὅτι ὁσίως καὶ σεμνῶς, ὡς ἀληθὴς Ἱερεὺς ἐβίωσε ἐν τῷ κόσμῳ καὶ πρεσβεύει ἐν παρρησίᾳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα Πατρί. Ἦχος δ' «Ταχὺ προκατάλαβε»

Σκιρτήσωμεν ᾄσμασι, τῶν Κεφαλλήνων πληθύς, τὴν μνήμην γεραίροντες νῦν τοῦ κλεινοῦ Παναγῆ καὶ τούτῳ βοήσωμεν. Χαίροις τοῦ Ληξουρίου εὐκλεέστατον θρέμμα. Χαίροις τῶν Ἱερέων τὸ σεβάσμιον κλέος. Χαίροις τῶν σῶν ἱκετῶν μεσίτης πρὸς Κύριον.

www.tezaurliturgic.ro

Καὶ νῦν Θεοτοκίον ὅμοιον.

Παρθένε Παντάνασσα, χριστιανῶν ἡ ἐλπίς, μὴ παύσῃ πρεσβεύουσα τὸν σὸν Υἱὸν καὶ Θεόν, ἀκήρατε Δέσποινα, ρῦσαι παντοίων νόσων, πειρασμῶν καὶ κινδύνων, πάντας τοὺς προσιόντας τῇ ἀχράντῳ σου σκέπῃ, καὶ αἰτουμένων πιστῶς τὴν ἄληκτον χάριν σου.

Οἱ Ἀναβαθμοί, τὸ α' Ἀντίφωνον τοῦ δ' Ἤχου.

Προκείμενον

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Στίχος. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ

Τό, Πᾶσα πνοή, Εὐαγγέλιον

Ὁ Ν' Ψαλμὸς Δόξα. Ταῖς τοῦ Σοῦ Ὁσίου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα τὸ Ἰδιόμελον, Ἦχος πλ. β'

Τὸ δοθέν σοι παρὰ Θεοῦ τάλαντον, Ὅσιε ὑπερηύξησας, ὅθεν τῆς μακαρίας φωνῆς ἐκείνου ἀκούσας χαίρων εἰσῆλθες εἰς χαρὰν τὴν οὐράνιον. Αὐτῆς ἀξίωσον καὶ ἡμᾶς πανσεβάσμιε Πάτερ, τοὺς τελοῦντας τὴν μνήμην σου, Παναγῆ Θεοφόρε πρεσβείαις σου.

Εἶτα οἱ Κανόνες

α) τῆς Θεοτόκου, Ἀρματηλάτην Φαραὼ καὶ

β) τοῦ Ἁγίου,

Οὗ ἡ ἀκροστιχίς:

ΑΣΩ ΠΑΝΑΓΗΝ ΚΛΕΟΣ ΔΙΚΑΙΩΝ ΠΟΛΥΚΑΡΠΟΥ.

www.tezaurliturgic.ro



᾿Ωδὴ α΄ Ἦχος πλ. δ΄ «᾿Αρματηλάτην Φαραὼ»

Ἄναρχε Πάτερ ἡ πηγὴ τῆς γνώσεως καὶ τῆς σοφίας καμοῦ τοῦ ἐσκοτισμένου, τοῖς τοῦ βίου πταίσματι, τὸν νοῦν φωτί σου αὔγασον, τράνωσόν μου τὴν γλῶσσαν, ἵνα ὑμνήσω τὸν δοῦλον Σου, θεῖον Παναγῆν Ὃν ἐδόξασας.

Σοφία Πάτερ Θεϊκῇ κοσμούμενος, τῶν γεηρῶν καὶ φθαρτῶν παριδὼν παμμάκαρ Παναγῆ θεόσοφε, Χριστῷ ἐπηκολούθησας, καὶ Αὐτῷ μέχρι τέλους, σεμνοπρεπῶς διηκόνησας, ὅθεν σε ἀξίως ἐδόξασε.

Ὡς δένδρον Πάτερ φυτευθὲν ἐξήνθησας, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ, Σῶν δακρύων ὄμβροις καὶ ἐνθέοις πράξεσι, παμμάκαρ ἀρδευόμενον Παναγῆ Θεηγόρε, καρποὺς ἀξίους ἐν χάριτι, ἐξ ὧν διατρέφεις τοὺς δούλους Σου.

Θεοτοκίον

Παρθενομῆτορ Παναγία Δέσποινα, ἡ φῶς τεκοῦσα Χριστὸν τοὺς νενοσηκότας ὀφθαλμούς μου, δέομαι, ψυχῆς ὁμοῦ καὶ σώματος φωταγώγησον ἵνα ἀεὶ δοξάζω Σε Πάναγνε, καὶ ποιῶ Υἱοῦ Σου τὸ θέλημα.

᾿Ωδὴ γ΄ «Οὐρανίας ἀψῖδος»

Ἀρνησάμενος κόσμον, πρὸς τὴν Μονὴν ἔδραμες, Εὐαγγελιστρίας εἰς Δίαν νῆσον πρὸς ἄσκησιν, ἀλλ' ἱκεσίαις καμφθείς, τῆς ἀδελφῆς καὶ μητρὸς Σου, ὑποστρέφεις ὅσιε οἰκείοις δώμασι.

Νέος ἔτι ὑπάρχων, ὅλος ἁγνὸς σώματι καὶ τὸ νοῦν σοφὲ κεκτημένος Θεοειδέστατον, ἀξίως ἤλειφας

www.tezaurliturgic.ro

Ἱερωσύνης τὴν χάριν καὶ Θεῷ ἱέρευσας ὥσπερ ἀσώματος.

Ἀγρυπνίαις πολλάκις καὶ ταπεινοῖς δάκρυσι, λούων τὴν στρωμνὴν καθ' ἑκάστην Θεομακάριστε, καὶ ἐν νηστείαις μακραῖς ὑποπιάζων τὸ σῶμα ὤφθης ἰσοστάσιος τῶν ἄνω τάξεων.

Θεοτοκίον

Γαληνόν σε λιμένα καὶ κιβωτὸν ἄχραντε, ἔχοντες οἱ δοῦλοι Σου κόρη Θεογεννήτρια, οἱ συμπνιγόμενοι ταῖς τρικυμίαις τοῦ βίου, εἰς Σὲ καταφεύγοντες διασωζόμεθα.

Κάθισμα Ἦχος γ' «Τὴν ὡραιότητα»

Τὴν τελειότητα Πάτερ τοῦ βίου Σου καὶ ἀριστείας Σου τῶν θείων πράξεων, αἱ τῶν Ἀγγέλων στρατιαὶ ἐξίσταντο καθορῶσαι. Ὅθεν καὶ ὁ Κύριος Σὲ ἀξίως ἐδόξασε, χάριν παρεχόμενος προορᾶν τὰ ἐσόμενα, Αὐτὸν μὴ διαλείπης πρεσβεύων μάκαρ, ὑπὲρ τῶν πίστει Σε τιμώντων.

Δόξα. τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τὴν ἀπειρόγαμον Θεογεννήτριαν, ἀνευφημήσωμεν ὡς ὑπερέχουσαν τῶν οὐρανίων στρατιῶν καὶ τῶν ἁγίων ἁπάντων. Αὕτη γὰρ ἐκύησε ὑπὲρ λόγον καὶ ἔννοιαν, τὸν δημιουργήσαντα ὁρατὰ καὶ ἀόρατα καὶ Τοῦτον ἐκτενῶς ἱκετεύει σῶσαι ἡμᾶς τοὺς ἐπταικότας.

Ὠδὴ δ' «Σύ μοι ἰσχὺς Κύριε»

Ἡ συμπαθὴς πλήρης ἀγάπης καρδία σου, καιομένη τοῦ Χριστοῦ τῷ ἔρωτι καὶ τοῦ πλησίον ὁλοσχερῶς,

www.tezaurliturgic.ro



ἅπαντα τὸν πλοῦτον χερσὶ πενήτων διένειμε, διό Σου εἰς αἰῶνας ἡ ἐλεημοσύνη μένει σοφὲ καὶ τὸ μνημόσυνον.

Νέος φωστὴρ ἄδυτος κόσμῳ ἀνέτειλας, ἐν ὑστέροις χρόνοις παναοίδιμε, καὶ τὰ πληρώματα τῶν πιστῶν, τῶν Σοὶ προστρεχόντων λαμπροφανῶς κατεφώτισας, τῇ χάριτι τῶν ἔργων, τῇ αἴγλῃ τῶν θαυμάτων καὶ τῇ ἐλλάμψει τῶν προρρήσεων.

Κήρυξ σεπτὸς γέγονας Πάτερ μακάριε, τοῦ ὀφθέντος ἐπὶ γῆς δι' ἔλεος, καὶ Τοῦτον ἅπασι ἀληθῶς μετὰ παρρησίας ὦ Παναγῆ διετράνωσας, ἐν λόγοις θεοσόφοις, ἐν πράξεσι ἐνθέοις καὶ εὐσεβείας ὑποδείγμασι.

Θεοτοκίον

Λύτρωσαι νῦν Πάναγνε πάσης κακώσεως, πάσης νόσου πειρασμῶν καὶ θλίψεων, τοὺς προσιόντας Σοι εὐλαβῶς καὶ ἐξαιτουμένου τὴν κραταιὰν Σου ἀντίληψιν, πανάσπιλε Μαρία, ἡ δόξα τῶν Ἁγίων καὶ τῶν πιστῶν τὸ καταφύγιον.

Ὠδὴ ε' «Ἵνα τί με ἀπώσω»

Ἐλλαμπόμενος μάκαρ, ἀστραπαῖς τοῦ Πνεύματος φωτοειδέστατος πᾶσιν ἐγνωρίσθης, διαλάμπων πλουσίοις χαρίσμασι, ὅθεν Σοῦ τὴν μνήμην περιχαρῶς ἐπιτελοῦμεν, Παναγῆ Ἱερέων ἀγλάϊσμα.

Ὁλοψύχως παμμάκαρ, τὸν Χριστὸν ἀγαπήσας πάντα ἐπώλησας καὶ κατὰ τὸν Παῦλον ὥσπερ σκύβαλα ταῦτα λελόγισαι. Ὅθεν θεαρέστως, χερσὶ πενήτων διανείμας, μαργαρίτην τὸν Θεῖον ἠγόρασας.

www.tezaurliturgic.ro

Συμπαθείας λιμένα καὶ προστάτην ἁγνόν τε καὶ ἱλαρώτατον, τῶν πενήτων Πάτερ, ὀρφανῶν καὶ χηρῶν. Σὲ ἐγνώκαμεν. Ὅθεν Σε καὶ ζῶντα καὶ μεταστάντα Θεοφόρε, Παναγῆ Σὲ ἐδόξασε Κύριος.

Θεοτοκίον

Δεξιάν Σου τὴν Θείαν, ἔκτεινον καὶ πάντας ἡμᾶς νῦν εὐλόγησον, τούς Σὲ προσκυνοῦντας καὶ τιμῶντας τὸν τόκον Σου Δέσποινα, ἵνα δυνηθῶμεν τοῦ βίου τούτου τοὺς τριβόλους, ὁμαλῶς διαβαίνειν πανάμωμε.

Ὠδὴ στ´ «Ἱλάσθητί μοι Σωτήρ»

Ἰχνηλατῶν Παναγῆ τοῦ Ἰησοῦ τὸ ὑπόδειγμα, ἐξ ὅλης Σου τῆς ψυχῆς καὶ τῆς καρδίας ἠγάπησας, Θεὸν καὶ πλησίον Σου, δι' οὓς καὶ τὰ πάντα γηθοσύνως ἐθυσίασας.

Καιρῷ χειμῶνος ποτὲ καὶ ἐν βροχῇ πορευόμενος, οὐδόλως τῷ ὑετῷ ὑγράνθης πανόλβιε, Θεοῦ Σὲ δοξάζοντος, Ὅνπερ Θεοφόρε ἐν τῷ βίῳ Σου ἐδόξασας.

Ἀγγέλων αἱ στρατιαὶ καὶ τῶν βροτῶν τὰ συστήματα θαυμάζουσι Παναγῆ τὸν ἅγιον βίον Σου, πολλά τε θαυμάσια καὶ τὴν θείαν χάριν τὴν χειρὶ Θεοῦ δοθεῖσαν Σοι

Θεοτοκίον

Ἱκέτευε ἐκτενῶς, Ὅν ἐν σαρκὶ ἀπεκύησας, ρυσθῆναι ἐκ συμφορῶν καὶ πάσης κολάσεως, Θεοτόκε Δέσποινα, τοὺς ἐν κατανύξει εὐλαβῶς παρακαλοῦντας Σε.

www.tezaurliturgic.ro



Κοντάκιον Ἦχος γ' «Ἡ Παρθένος σήμερον»

Χαρμοσύνοις ἄσμασι, Κεφαλληνία ἡ νῆσος, συγκαλεῖται σήμερον τῶν φιλεόρτων τὰ πλήθη, ἔρεισμα τῆς Ἐκκλησίας ἀνευφημῆσαι, σέμνωμα νεοφανέντα Ὀρθοδοξίας, Παναγῆν τὸν Θεηγόρον, Χριστοῦ τὸν μύστην καὶ ταύτης ἀγλάϊσμα.

Ὁ Οἶκος

Δοξάζομέν Σου Χριστέ, τὴν ἄκραν φιλανθρωπίαν καὶ ἀγαθότητα τὴν εἰς ἡμᾶς γενομένην, ὅτι τρεῖς μεγίστους φωστῆρας καὶ αἰωνίους προστάτας ἡμῖν ἐχορήγησας. Γεράσιμον τὸν θαυματόβρυτον, Ἄνθιμον τὸν πανόλβιον καὶ ἐν ἐσχάτοις τοῖς χρόνοις, Παναγῆν τὸν πανθαύμαστον. Τούτου τὴν μνήμην σήμερον ἡ νῆσος ἡμῶν τελοῦσα, μετ' εὐφροσύνης τῶν φιλεόρτων συγκαλεῖται τὰ πλήθη μετ' ἐγκωμίων ὑμνῆσαι, Χριστοῦ τὸν μύστην καὶ ταύτης ἀγλάϊσμα.

Συναξάριον

Τῇ Ζ' τοῦ μηνὸς Ἰουνίου μνήμη τοῦ ἐν Ἱερεῦσι ἐπ' ἀρεταῖς διαλάμψαντος Ἱερέως Παναγῆ (τοῦ Μπασιᾶ).

ΒΙΟΓΡΑΦΙΑ

Ὁ Ἅγιος Παναγῆς (Παΐσιος) Τυπάλδος Μπασιᾶς γόνος τῆς οἰκογενείας Τυπάλδου Μπασιᾶ ἐγεννήθη εἰς Ληξούριον τὸ 1801 ἐκ γονέων εὐσεβῶν τοῦ Μιχαὴλ καὶ τῆς Ρεγγίνας, τὸ γένος Δελλαπόρτα. Ἔλαβεν σημαντικὴν μόρφωσιν Ἑλληνικὴν καὶ Θεολογικὴν καὶ ὡμίλει τὴν Γαλλικήν, Ἰταλικὴν καὶ ἐγνώριζε τὴν

 www.tezaurliturgic.ro

Λατινικήν. Ἐγένετο δημόσιος διδάσκαλος, ἀλλὰ παρητήθη ὅταν οἱ Ἄγγλοι ἐπίεζαν τοὺς Κεφαλλῆνας καὶ ἐδίδασκε κατ' οἶκον.

Τὸ 1836 ἐχειροτονήθη ὑπὸ τοῦ τότε Ἀρχιεπισκόπου Κεφαλληνίας Παρθενίου Μακρῆ Διάκονος καὶ Πρεσβύτερος. Ἔκτοτε ἡ ζωή Του ὅλη ἐδαπανήθη εἰς τὴν διακονίαν τῆς Λατρείας καὶ τὴν ὑπηρεσίαν τῶν χριστιανῶν. Ἐλεήμων εἰς τὸ ἄκρον. Κήρυξ τοῦ Θ. Λόγου δόκιμος. Λειτουργὸς ἄριστος, ἀσκητικός, ἐξομολόγος διακριτικός, προσήλκυσε τὴν ἀγάπη τῶν χριστιανῶν. Ἔλαβε ἀπὸ τοῦ Θεοῦ τὸ χάρισμα τῆς προφητείας καὶ προέλεγε καὶ συνεβούλευε καταλλήλως. Εἶχε καὶ προορατικὸν χάρισμα. Πωλήσας τὰ ὑπάρχοντά του τὰ διένειμε εἰς τοὺς πτωχούς. Ὁ ἴδιος δὲ ἐφιλοξενεῖτο εἰς τὴν οἰκίαν τοῦ συγγενοῦς του Ἰωάννου Νικ. Γερουλάνου. Διετέλεσε Ἐφημέριος τῆς Ἱ.Μ. Ἁγ. Σπυρίδωνος, Πλατὺ Γυαλοῦ Ληξουρίου μέχρι τῆς θανῆς Του. Πιεζόμενος ὑπὸ ἀσθενίας κατὰ καιροὺς ὑπέμεινε ταύτην μεθ' ὑπομονῆς ὡς ὁ Ἀπ. Παῦλος:

Ἐκοιμήθη τὴν 7 Ἰουνίου 1888 εἰς Ληξούριον εἰς ἡλικίαν 88 ἐτῶν. Ἐγκωμιάσθη δεόντως ὑπὸ τοῦ τότε Ἀρχιεπισκόπου Κεφαλ. Γερμανοῦ Καλλιγᾶ, μετέπειτα Ἀρχιεπισκόπου Ἀθηνῶν καὶ ὑπὸ τοῦ τότε καθηγητοῦ Ζησίμου Γ. Π. Τυπάλδου. Ἐτάφη εἰς τὸν χῶρον τοῦ Ἁγ. Σπυρίδωνος Ληξουρίου, ἀπ' ὅπου καὶ ἐγένετο ἡ Ἀνακομιδὴ μετὰ 88 ἔτη τὸ 1976 ἡμέραν τῆς ἐπετείου του, ὑπὸ τοῦ Σεβ. Μητροπολίτου Κεφαλληνίας ΠΡΟΚΟΠΙΟΥ.

Ὅσοι κατέφυγον εἰς τὴν πρεσβείαν του ἔλαβον τοῦ ζητουμένου. Ἰδίως οἱ μαθηταὶ καὶ φοιτηταί. Ἀναφέρονται πολλὰ θαυμαστὰ ὡς ἀναγράφει λεπτομερῶς ἡ βιογραφία του.

www.tezaurliturgic.ro



Στίχοι.

Τὴν κάτω σοφὲ παριδὼν εὐκοσμίαν
τῆς ἄνω μετέχεις τερπνῆς κληρουχίας.
Ἑβδόμῃ Παναγῆς θανών, συνεκράθη τοῖς ἄνω.

Ταῖς Αὐτοῦ ἁγίαις πρεσβείαις ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ Ζ΄. «Παῖδες Ἑβραίων»

Ὥσπερ χρυσὸς ἐν τῇ καμίνῳ δεδοκίμασαι σοφὲ ἐν ἀσθενείαις καὶ ἀστράψας φαιδρῶς, τρανώτερον ἐκείνου, φωτίζεις τοὺς κραυγάζοντας ὁ Θεὸς εὐλογητὸς εἶ.

Νέος φωστὴρ σὺ ἀνεφάνης, στερεώματι Χριστοῦ τῆς Ἐκκλησίας καὶ θαυμάτων βολαῖς τοὺς πάντας καταυγάζεις τοὺς ψάλλοντας ἐκ πίστεως ὁ Θεὸς εὐλογητὸς εἶ.

Πλοῦτον πολύτιμον κατέχει, Σοῦ τὰ λείψανα ἡ πόλις Ληξουρίου Παναγῆ ἱερέ, ἐξ ὧν ἀναπηγάζει τὰ ρεῖθρα τῶν ἰάσεων καὶ δοξάζει τὸν δοτῆρα.

Θεοτοκίον.

Ὅρους τῆς φύσεως Παρθένε, ὑπερβέβηκας τεκοῦσα τὸν Σωτῆρα ὑπὲρ φύσιν ἁγνή, ἀσπόρως καθὼς οἶδεν, Ὃν ἐκδυσώπει πάντοτε διασώζεσθαι τὸν κόσμον.

Ὠδὴ η΄. «Τὸν ἐν ὄρει ἁγίῳ»

Λόγοις θείοις, τὴν ποίμνην Σου ἐκθρέψας, προϊδὼν δὲ σοφὲ τὸ ὕστατον τοῦ βίου καὶ τῷ Θεῷ εὐχαριστήσας Ὅσιε, τούτου εἰς τὰς χεῖρας τὴν ἡγιασμένην, παρέδωκας ψυχήν σου.

www.tezaurliturgic.ro

Ὑμνωδίαις τιμήσωμεν προφρόνως τοῦ σεπτοῦ Παναγῆ τὴν μνήμην τὴν φωσφόρον καὶ γὰρ Αὐτὸς καθικετεύει πάντοτε, ὑπὲρ τῶν ὑμνούντων καὶ δοξολογούντων Χριστὸν εἰς τοὺς αἰῶνας.

Κεκρυμμένος τῇ γῇ ἐν πλείστοις χρόνοις, ὡς φωστὴρ διαυγὴς τῷ κόσμῳ ἀνατέλεις, τῇ ἐπινεύσει τοῦ Θεοῦ μακάριε, καὶ ἐπενεργείᾳ καὶ σεπτῇ φροντίδι Ποιμένος Προκοπίου.

Θεοτοκίον.

Ἀνωτέρα ὑπάρχεις ἀσυγκρίτως, ἀειπαρθένε Ἀγγέλων καὶ Ἁγίων Σὺ τὸν Χριστὸν τῷ κόσμῳ ἀπεκύησας, Ὅν ἀεὶ δυσώπει ὑπὲρ τῶν ὑμνούντων Αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ Θ΄ «Ἐξέστη ἐπὶ τούτῳ»

Ὑμνήσωμεν ἐν ὕμνοις, Παναγῆν τὸν Θεῖον τὸν νῦν νεοφανέντα.

Ῥεόντων τὸ κλυδώνιον διαβάς, καὶ τὴν πίστιν τηρήσας ἀλώβητον καὶ γεγονὼς πλήρης παμμακάριστε ἡμερῶν, πλήρης ἐνθέων πράξεων, χαίρων μεταβέβηκας πρὸς Χριστόν, Ὅν αἴτησαι σωθῆναι τοὺς Σὲ παρακαλοῦντας καὶ εὐφημοῦντας πανσεβάσμιε.

Δοξάσωμεν προφρόνως, Παναγῆν τὸν Θεῖον, τὸν μύστην τοῦ Δεσπότου.

Πληρούμεθα πανόλβιε Παναγῆ, εὐφροσύνης χαρᾶς καὶ λαμπρότητος, οἱ εὐσεβεῖς ἔτι εὐωδίας πνευματικῆς, παρεστηκότες Ἅγιε κύκλῳ τῶν λειψάνων Σου τῶν σεπτῶν. Διὸ δοξολογίας προσάδομεν, Κυρίῳ τῷ Σὲ παμμάκαρ ἁγιάσαντι.

www.tezaurliturgic.ro



Αἰνέσωμεν συμφώνως, Τριάδα τὴν Ἁγίαν, Ἣν Ἄγγελοι ὑμνοῦσι.

Ὁλόφωτος ὡς ἥλιος Παναγῆ, ἀκηράτοις σοφὲ διεξέλαμψας μαρμαρυγαῖς, θρόνῳ τοῦ Κυρίου παρεστηκὼς ὑπὲρ ἡμῶν μνημόνευε τῶν ἐπιτελούντων πανευλαβῶς, τὴν μνήμην Σου τὴν θείαν καὶ πίστει προσκυνούντων τὰ ἱερά Σου θεῖα Λείψανα.

Τιμήσωμεν ἀξίως τὴν ἁγνὴν Παρθένον τὴν ὄντως Θεοτόκον.

Ὑμνήσωμεν ἐν ὕμνοις χρεωστικῶς, τὴν ἁγνὴν πανανώμητον Δέσποινα καὶ πρὸς Αὐτὴν ἄσωμεν τὸ Χαῖρε χαρμονικῶς ὅτι χαρὰν ἐκύησεν ἐν παντὶ τῷ κόσμῳ ὡς ἀληθῶς καὶ ἔσωσε τῆς πάλαι ἀρᾶς τῆς ἀρχεγόνου ἅπαν τὸ γένος τὸ ἀνθρώπινον.

## Ἐξαποστειλάρια

Τῶν Ἱερέων ὁ δῆμος, καὶ φιλεόρτων ἡ πληθὺς ἀνευφημήσωμεν ὕμνοις τὸν Θεοφόρον Παναγῆν, μιμούμενοι τὴν ἐκείνου ἐνάρετον πολιτείαν.

Τὸ θεοκόσμητον κλέος, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας καὶ τῶν σεπτῶν Μυστηρίων μυσταγωγὸν πανευκλεῆ δεῦτε τιμήσωμεν πάντες μύστην τὸν Θεῖον Παναγῆν.

Θεοχαρίτωτε Κόρη ἡ πλατυτέρα οὐρανῶν, ἡ τετοκυία ἀφράστως τὸν τοῦ παντὸς Δημιουργόν, Τοῦτον ἀεὶ δυσωποῦσα ὑπὲρ ἡμῶν μὴ ἐλλείπης.

www.tezaurliturgic.ro

Εἰς τοὺς Αἴνους, στιχηρὰ προσόμοια. Ἦχος πλ. δ'
«Τὶ ὑμᾶς καλέσωμεν».

Τὶ σὲ Παναγῆ ὀνομάσωμεν, Ληξουρίου θεῖον γόνον καὶ διδάσκαλον σοφόν, Ἐκκλησίας εὐκοσμίαν τῶν πιστῶν ὑπογραμμόν, προστάτην τῶν πενήτων ἱλαρώτατον νοσούντων ἰατρὸν θεοχαρίτωτον, λαμπρά σου τὰ κατορθώματα, θεόδοτα τὰ χαρίσματα, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὶ σὲ θεορρῆμον καλέσωμεν, Ἱερέων χαρμονὴν καὶ πλανωμένων ὁδηγόν, θησαυρὸν ὀρθοδοξίας, Ἐκκλησίας στολισμόν, ταμεῖον δωρεῶν τῆς Θείας Χάριτος καὶ ἄνθος Παραδείσου εὐωδέστατον, ὁ βίος σου ὑπερτέλειος, αἱ ἀρεταί σου ἰσάγγελοι, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὶ σὲ Παναγῆ προσφθεγξώμεθα, συμπολίτην τῶν Ἁγίων καὶ οὐράνιον βροτόν, λειτουργὸν τῶν μυστηρίων μοναζόντων ὁδηγόν, προφήτην προκηρύττοντα τὰ μέλλοντα, φωστῆρα Ἐκκλησίας τηλαυγέστατον, σεμνά σου τὰ ἔργα ἅγιε καὶ ἄπειρα τὰ θαυμάσια. Ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὶ σὲ νῦν προσείπω πανθαύμαστε, Παναγῆ θαυματοφόρε παμφαέστατε ἀστήρ, ὁ ἐκλάμψας ἐν τῷ κόσμῳ ἐν ἐσχάτοις τοῖς καιροῖς, ἐργάτην τοῦ Σωτῆρος ἀκατάβλητον, ὁσίων καὶ δικαίων ἰσοστάσιον, ὁ νοῦς σου Θεοειδέστατος, οἱ λόγοι προφητικώτατοι. Ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro



Δόξα. Ἦχος πλ. Α'

Σαλπίσωμεν ἐν σάλπιγγι ἀσμάτων, συμψάλλωμεν γηθόμενοι καὶ σκιρτήσωμεν εὐωχούμενοι, ἐπὶ τῇ πανιέρῳ μνήμῃ τοῦ πανολβίου πατρός. Μοναζόντων τάγματα καὶ φιλόσιοι τὸν ἐπιφανέντα δοξάσωμεν προφρόνως, προφητείας χάριτι θαυμαστῶς πεπληρωμένον καὶ ἐν κάλλεσι ἀρετῶν διαλάμποντα, ἀσμάτων τοῖς ἄνθεσι, τὸν τῆς σεπτῆς Τριάδος, λαμπρὸν ἱερομύστην συνελθόντες ἀνυμνήσωμεν. Τὸν διδάσκαλον τὸν σοφὸν πρὸς ἀρετὴν ὁδηγοῦντα, τῶν ἐν κλίνῃ κατακειμένων ἐμπειρώτατον ἰατρὸν, τὸν λυτρούμενον ἐκ πάσης ἀσθενείας, τῶν θλιβομένων παραμυθίαν καὶ δότην ἱλαρὸν τῶν ἐπιδεομένων, τὸν πάντας ἐκ συμφορῶν ἀεὶ ρυόμενον. Παναγῆ τὸν θεόληπτον ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Τρισόλβιε πάτερ, σπεῦσον νῦν ἐξελοῦ ἡμᾶς, ἀπὸ παντοίων κινδύνων καὶ ρῦσαι τὰ τέκνα σου πάσης κολάσεως.

Καὶ νῦν..

Μακαρίζομέν σε Θεοτόκε Παρθένε καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον τὴν ἀρραγῆ προστασίαν καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

 www.tezaurliturgic.ro

# ΕΙΣ ΤΗΝ Θ. ΛΕΙΤΟΥΡΓΙΑΝ

## Ἀπόστολος

Τετάρτη τῆς Θ΄ ἑβδομάδος (Α΄ Κορινθίους ΙΓ΄-ΙΔ, 5)

Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην

στιχ. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών.

Πρὸς Κορινθίους Α΄ ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοί, ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον. καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμί. Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμα μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται, ἡ ἀγάπη οὐ ζηλοῖ, ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει, ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. Εἴτε δὲ προφητεῖαι, καταργηθήσονται· εἴτε γλῶσσαι παύσονται· εἴτε γνῶσις, καταργηθήσεται. Ἐκ μέρους δὲ γινώσκομεν καὶ ἐκ μέρους προφητεύομεν· ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται. Ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνὴρ κατήργηκα τὰ τοῦ νηπίου. Βλέ-

www.tezaurliturgic.ro



πομεν γὰρ ἄρτι δι᾽ ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον· ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην. Νυνὶ δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη. Διώκετε τὴν ἀγάπην· ζηλοῦτε δὲ τὰ πνευματικά, μᾶλλον δὲ ἵνα προφητεύητε. Ὁ γὰρ λαλῶν γλώσσῃ οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ τῷ Θεῷ· οὐδεὶς γὰρ ἀκούει, πνεύματι δὲ λαλεῖ μυστήρια· ὁ δὲ προφητεύων ἀνθρώποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν. Ὁ λαλῶν γλώσσῃ ἑαυτὸν οἰκοδομεῖ, ὁ δὲ προφητεύων ἐκκλησίαν οἰκοδομεῖ. Θέλω δὲ πάντας ὑμᾶς λαλεῖν γλώσσαις, μᾶλλον δὲ ἵνα προφητεύητε· μείζων γὰρ ὁ προφητεύων ἢ ὁ λαλῶν γλώσσαις, ἐκτὸς εἰ μὴ διερμηνεύῃ ἵνα ἡ ἐκκλησία οἰκοδομὴν λάβῃ.

## Εὐαγγέλιον

### Σάββατον ΙΑ΄ ἑβδομάδος Λουκᾶ (Λουκᾶ ΙΒ, 32-40)

Εἶπεν ὁ Κύριος, Μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον· ὅτι ηὐδόκησεν ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν. Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν καὶ δότε ἐλεημοσύνην. Ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς, ὅπου κλέπτης οὐκ ἐγγίζει οὐδὲ σὴς διαφθείρει· ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται. Ἔστωσαν ὑμῶν αἱ ὀσφύαι περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι· καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων ἵνα ἐλθόντος καὶ κρούσαντος εὐθέως ἀνοίξωσιν αὐτῷ. Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντας, ἀμὴν λέγω ὑμῖν ὅτι περιζώσεται καὶ ἀνα-

www.tezaurliturgic.ro

κλινεῖ αὐτούς, καὶ παρελθὼν διακονήσει αὐτοῖς. Καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ καὶ ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ καὶ εὕρῃ οὕτω, μακάριοι εἰσὶν οἱ δοῦλοι ἐκεῖνοι. Τοῦτο δὲ γινώσκετε ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν ἀφῆκεν διορυγῆναι τὸν οἶκον αὐτοῦ. Καὶ ὑμεῖς οὖν γίνεσθε ἕτοιμοι· ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖται ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

### Μεγαλυνάριον

Τὸν τοῦ Ληξουρίου γόνον λαμπρόν, Ὀρθοδόξων κλέος Ἱερέων ὑπογραμμόν, τῆς Κεφαλληνίας ἀγλάϊσμα τὸ νέον, τὸν Παναγῆν τὸν Θεῖον ὕμνοις τιμήσωμεν.